# Blessing of Waters at the Feast of Theophany
## *The Greater and Lesser Blessing of Waters*

**Copyright © 2012 by the Greek Orthodox Metropolis of Denver**
All rights reserved. These materials remain the property of the Greek Orthodox Metropolis of Denver, 4550 East Alameda Avenue, Denver, CO 80246; phone: 303-333-7794.

The proper materials contained herein are published solely and exclusively for use by the priests and the chanters in the parishes of the Greek Orthodox Metropolis of Denver. They may be copied and/or reproduced only by the clergy of the Metropolis of Denver, and they may be used solely during the liturgical services celebrated in their own parish. They may not otherwise be copied, reprinted, reproduced, distributed, forwarded, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means – electronic, mechanical, recording, or any other. None of these materials may be used for sale or profit, or in any monetary transaction whatsoever.

**Disclaimer**
The Greek text and English translations herein are for the purposes of worship only in the parishes of the Greek Orthodox Metropolis of Denver. The rubrics and order of services are those specified by His Eminence Metropolitan Isaiah to be used in each of the parishes of the Metropolis. The promulgation of these materials does not represent a commitment by the Metropolis of Denver or by His Eminence Metropolitan Isaiah of Denver to their accuracy. The English translations have not been fully verified, but they are allowed for use by Metropolitan Isaiah in the parishes of the Metropolis of Denver. Please submit all corrections, typographical and linguistic, to the Metropolis of Denver.

**Acknowledgements**
The English text was compiled from various sources published for public use. These include *Learn to Chant* (http://www.goarch.org/chapel/chant/), by the Greek Orthodox Archdiocese of America. The text was produced using Microsoft Word for Mac 2011 version 14.1.14, and the embedded font in the Greek/English texts is Times New Roman.

**Web Site**
This document, and other provisional liturgical materials prepared exclusively for use by the clergy of the Greek Orthodox Metropolis of Denver, can be accessed at: http://www.denver.goarch.org/clergy/resources/liturgical/metropolis/

## Greater and Lesser Blessing of Water

*After the Prayer Behind the Ambo, the Priest exits and stands before the kolymvithra, with the candlebearers and the censer, and we chant the following idiomela:*

**Idiomela**

***By Sophronios, Patriarch of Jerusalem***

*Tone Plagal 4*

The voice of the Lord upon the waters cries out, saying: By the appearance of Christ, all of you come: and take the Spirit of wisdom, the Spirit of understanding, the Spirit of the fear of God.

Today the nature of water is sanctified, and the Jordan is divided; its waters shall be held back from flowing, as the Master is washed therein.

You came to the river as a man, O Christ King; and You hasten to receive Baptism as a servant at the hands of the forerunner, O good One, for our sins, O You Who love mankind.

*Glory to the Father, and to the Son, and to the Holy Spirit, now and ever, and to the ages of ages. Amen.*

Toward the voice crying in the wilderness, “Prepare the way of the Lord, You came taking the likeness of a servant and seeking baptism, O You Who knew no sin. The waters saw You and were afraid, and the Forerunner trembled and cried out, saying: “How shall the Light seek to be lighted from the lamp? How shall the servant place his hand upon the Master? Wherefore, sanctify me and the waters, O Savior, carrying the sin of the world.

**First Reading**

*Isaiah 35:1-10*

The reading from the Prophet Isaiah.

*Deacon* Wisdom. Let us be attentive.

Thus says the Lord: The wilderness and the solitary place shall be glad for them; and the desert shall rejoice, and blossom as the rose. It shall blossom abundantly, and rejoice even with joy and singing: the glory of Lebanon

## Μεγ. καὶ Μικρ. Ἁγιασμό

*Μετὰ δὲ τὴν ὀπισθάμβωνον Εὐχήν, ἐξερχόμεθα ἐν τῇ Κολυμβήθρᾳ, προπορευομένου τοῦ Ἱερέως μετὰ λαμπάδων καὶ τοῦ θυμιατοῦ, καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Ἰδιόμελα·*

**Ἰδιόμελα**

***Ποίημα Σωφρονίου, Πατριάρχου Ἱεροσολύμων***

*Ἦχος πλ. δ’*

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ λέγουσα· Δεῦτε λάβετε πάντες, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, Πνεῦμα φόβου Θεοῦ, τοῦ ἐπιφανέντος Χριστοῦ.

Σήμερον τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις, καὶ ῥήγνυται ὁ Ἰορδάνης, καὶ τῶν ἰδίων ναμάτων ἐπέχει τὸ ῥεῦμα, Δεσπότην ὁρῶν ῥυπτόμενον.

Ὡς ἄνθρωπος ἐν ποταμῷ, ἦλθες Χριστὲ Βασιλεῦ, καὶ δουλικὸν Βάπτισμα λαβεῖν, σπεύδεις ἀγαθέ, ὑπὸ τῶν τοῦ Προδρόμου χειρῶν, διὰ τάς ἁμαρτίας ἡμῶν φιλάνθρωπε.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, ἦλθες Κύριε, μορφὴν δούλου λαβών, Βάπτισμα αἰτῶν, ὁ μὴ γνοὺς ἁμαρτίαν. Εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, σύντρομος γέγονεν ὁ Πρόδρομος, καὶ ἐβόησε λέγων· πῶς φωτίσει ὁ λύχνος τὸ Φῶς; πῶς χειροθετήσει δοῦλος τὸν Δεσπότην; ἁγίασον ἐμὲ καὶ τὰ ὕδατα Σωτήρ, ὁ αἲρων τοῦ κόσμου τὴν ἁμαρτίαν.

**Ἀνάγνωσμα Α´**

*Ἡσ. 35, 1-10*

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

*Διάκ.* Σοφία. Πρόσχωμεν.

Τάδε λέγει Κύριος· Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον. Καὶ ἐξανθήσει, καὶ ὑλοχαρήσει, καὶ ἀγαλλιασεται τὰ ἔρημα τοῦ Ἰορδάνου· καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ

shall be given unto it, the excellency of Carmel and Sharon, they shall see the glory of the Lord, and the excellency of our God. Strengthen the weak hands, and confirm the feeble knees. Say to those who are of a fearful heart, "Be strong, fear not: behold, your God will come with vengeance, even God with a recompense; he will come and save you." Then the eyes of the blind shall be opened, and the ears of the deaf shall be unstopped. Then shall the lame man leap as a hart, and the tongue of the dumb shall sing: for in the wilderness shall waters break out, and streams in the desert. And the parched ground shall become a pool, and the thirsty land shall become springs of water: in the habitation of dragons, where each lay, there shall be grass with reeds and rushes. And a highway shall be there, and a way, and it shall be called The Way of Holiness; the unclean shall not pass over it; but it shall be for those: the wayfaring men, though fools, shall not err therein. No lion shall be there, nor any ravenous beast shall go up thereon, it shall not be found there; but the redeemed shall walk there. And the ransomed of the Lord shall return, and come to Sion with songs and everlasting joy upon their heads: they shall obtain joy and gladness, *and sorrow and sighing shall flee away*.

Καρμήλου· καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ. Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. Παρακαλέσατε, καὶ εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ· Ἰσχύσατε καὶ μὴ φοβεῖσθε· ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων, ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ. Καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται, ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, ἐπαύλεις ποιμνίων καὶ καλάμη καὶ ἕλη. Καὶ ἔσται ἐκεῖ ὁδὸς καθαρά, καὶ ὁδὸς ἁγία κληθήσεται, οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος, οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ᾿ αὐτῆς, καὶ οὐ μὴ πλανηθῶσι. Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν πονηρῶν θηρίων, οὐ μὴ ἀναβῇ εἰς αὐτήν, οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ· ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι καὶ συνηγμένοι ὑπὸ Κυρίου. Καὶ ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ᾿ εὐφροσύνης καὶ ἀγαλλιάσεως, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτούς· *ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός*.

## Second Reading

*Isaiah 55:1-13*

The reading from the Prophet Isaiah.

*Deacon* Wisdom. Let us be attentive.

Thus says the Lord: Every one who thirsts, come to the waters; and he that has no money; come, buy, and eat; yea, come, buy wine and milk without money and without price. Why do you spend money for that which is not bread? and why labour for that which does not satisfy? Hearken diligently unto me, and eat that which is good, and let your soul delight itself in fatness. Incline your ear, and come unto me: hear, and your soul shall live; and I will make an everlasting covenant with you, even the sure mercies of David. Behold, I have given him for a witness to the people, a leader and commander to the people. Behold, you

## Ἀνάγνωσμα Β´

*Ἡσ. 55, 1-13*

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

*Διάκ.* Σοφία. Πρόσχωμεν.

Τάδε λέγει Κύριος· οἱ διψῶντες πορεύεσθε ἐφ᾿ ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ φάγεσθε, καὶ πίεσθε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ στέαρ, ἵνα τὶ τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις, καὶ ὁ μόχθος ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθεῖτε ταῖς ὁδοῖς μου, εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν Διαθήκην αἰώνιον, τὰ ὅσια Δαυῒδ τὰ πιστά. Ἰδοὺ μαρτύριον ἐν Ἔθνεσιν ἔδωκα αὐτόν, ἄρχοντα καὶ προστάσσοντα ἐν Ἔθνεσιν. Ἰδοὺ

shall call a nation that you do not know, and nations that did not know you shall run unto you because of the Lord your God, and for the Holy One of Israel; for He has glorified you. Seek the Lord while He may be found, call upon Him while He is near. Let the wicked forsake his way, and the unrighteous man his thoughts. Let him return unto the Lord, and He will have mercy upon him; let him return to our God, for He will abundantly pardon. For My thoughts are not your thoughts, neither are your ways My ways, says the Lord. For as the heavens are higher than the earth, so are My ways higher than your ways, and My thoughts than your thoughts. For as the rain comes down, and the snow from heaven, and returns not thence, but waters the earth, and makes it bring forth and bud, that it may give seed to the sower, and bread to the eater – so shall My word be that goes forth out of My mouth: it shall not return unto Me void, but it shall accomplish that which I please, and it shall prosper in the thing whereto I sent it. For you shall go out with joy, and be led forth with peace; the mountains and the hills shall break forth before you into singing, and all the trees of the field shall clap their hands. Instead of the thorn shall come up the fir tree, and instead of the brier shall come up the myrtle tree: and it shall be to the Lord for a name, *for an everlasting sign that shall not be cut off.*

Ἔθνη, ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε, καὶ λαοί, οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σε καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου, καὶ τοῦ Ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασέ σε. Ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτόν, ἐπικαλέσασθε, ἡνίκα δ᾿ ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τάς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τάς βουλὰς αὐτοῦ, καὶ ἐπιστράφητε πρὸς Κύριον, καὶ ἐλεηθήσεσθε, καὶ κράξεσθε, ὅτι ἐπὶ πολὺ ἀφήσει τάς ἁμαρτίας ὑμῶν. Οὐ γὰρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ᾿ ὥσπερ αἱ ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου, λέγει Κύριος. Ἀλλ᾿ ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Ὡς γὰρ ἂν καταβῇ ὑετός, ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν, οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρὸς με κενόν, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐοδώσω τάς ὁδούς μου, καὶ τὰ ἐντάλματά μου. Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε· τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται, προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις. Καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντί, δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη, καὶ ἔσται Κυρίῳ εἰς ὄνομα, *καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.*

### Third Reading

*Isaiah 12:3-6*

The reading from the Prophet Isaiah.

*Deacon* Wisdom. Let us be attentive.

Thus says the Lord: Therefore with joy shall you draw water out of the wells of salvation. And in that day you shall say, Praise the Lord, call upon His name, declare His doings among the people, make mention that His name is |exalted. Sing unto the Lord; for He has done excellent things: this is known in all the earthCry out and shout, you inhabitant of Sion: *for great is the Holy One of Israel in the midst of you.*

### Ἀνάγνωσμα Γ΄

*Ἡσ. 12, 3-6*

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

*Διάκ.* Σοφία. Πρόσχωμεν.

Τάδε λέγει Κύριος· Ἀντλήσατε ὕδωρ μετ᾿ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε τὸν Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς Ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ, μιμνῄσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν, ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε, καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες Σιών, *ὅτι ὑψώθη ὁ Ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.*

## Epistle

*1 Corinthians 10:1-4*

### ***Prokeimenon***

The Lord is my light and my salvation.

*Deacon* Let us be attentive.

The Lord is the Protector of my life.

### ***Epistle***

*Deacon* Wisdom.

The reading from the first letter of Paul to the Corinthians.

*Deacon* Let us be attentive.

Moreover, brethren, I would that you should not be ignorant, how all our fathers were under the cloud, and all passed through the sea; and were all baptized unto Moses in the cloud and in the sea; and did all eat the same spiritual meat; and did all drink the same spiritual drink: for they drank of that spiritual Rock that followed them, and that Rock was Christ.

## Ἀπόστολος

*Α΄ Κορ. 10, 1-4*

### ***Προκείμενον***

Κύριος φωτισμός μου καὶ Σωτήρ μου.

*Διάκ.* Πρόσχωμεν.

Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

### ***Ἀπόστολος***

*Διάκ.* Σοφία.

Πρὸς Κορινθίους Α᾿ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

*Διάκ.* Πρόσχωμεν.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ Πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον. Καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ. Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον. Καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

### ***Alleluia***

*Tone 4*

Alleluia. Alleluia. Alleluia.

The voice of the Lord is upon the waters.

The God of glory has spoken.

Alleluia. Alleluia. Alleluia.

### ***Ἀλληλούϊα***

*Ἦχος δ᾿*

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν ἐπὶ τῶν ὑδάτων.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα

## Gospel

*Mark 1:9-11*

*Deacon* Wisdom. Rise. Let us hear the Holy Gospel.

*Priest* Peace be with all.

And with your spirit.

*Priest* The reading from the Holy Gospel according to Mark.

*Deacon* Let us be attentive.

Glory to You, O Lord, glory to You.

## Εὐαγγέλιον

*Μαρκ. α΄ 9-11*

*Διάκ.* Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

*Ἱερεύς* Εἰρήνη πᾶσι.

Καὶ τῷ Πνεύματί σου.

*Διάκ.* Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

*Ἱερεύς* Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

*Priest* And it came to pass in those days, that Jesus came from Nazareth of Galilee, and was baptized of John in Jordan. And straightway coming up out of the water, He saw the heavens opened, and the Spirit like a dove descending upon Him: And there came a voice from heaven, saying, "Thou art My beloved Son, in Whom I am well pleased."

*Ἱερεύς* Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ᾽αὐτόν. Καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.

Glory to You, O Lord, glory to You.

Δόξα σοι, Κύριε, δόξα σοι.

**Litany of Peace**

**Εἰρηνικά**

*Deacon* In peace let us pray to the Lord.

*Διάκ.* Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For the peace from above and for the salvation of our souls, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For the peace in the whole world, for the stability of the holy churches of God, and for the union of all, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν Ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For this holy house and for those who enter with faith, reverence, and the fear of God, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου, Καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For pious and Orthodox Christians, let us pray to the Lord.

*Διάκ.* Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For our Archbishop *(Name)*, the honorable presbytery, the diaconate in Christ, and for all the clergy and the laity, let us pray to the Lord..

*Διάκ.* Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(Ὄνομα)*, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For the president of our country, for all civil authorities, and for our armed forces on land, at sea, and in the air, let us pray to the Lord

*Διάκ.* Ὑπέρ τοῦ προέδρου τῆς χώρας ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῇ, καὶ τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα ἡμῶν στρατοῦ, τοῦ κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For this city, for every city and land, and for the faithful who dwell in them, let us pray to the Lord.

*Διάκ.* Ὑπέρ τῆς πόλεως ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For favorable weather, an abundance of the fruits of the earth, and for peaceful times, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For travelers by sea, land and air; the sick, the suffering, the captives and their salvation, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That this water may be sanctified by the power, act, and descent of the Holy Spirit, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That the action of purification which belongs to the Trinity transcendent in essence may be planted herein, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That it may be granted the grace of redemption, and the blessing of the Jordan, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That we may be enlightened by the light of knowledge and true worship through the descent of the Holy Spirit, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως καὶ εὐσεβείας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That this water may bestow sanctification, redemption of sins, healing of soul and body, and every necessary benefit, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ γενέσθαι τὸ ὕδωρ τοῦτο ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, εἰς ἴασιν ψυχῆς καὶ σώματος, καὶ πᾶσαν ὠφέλειαν ἐπιτήδειον, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That this water may be beneficial unto eternal life, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ ὕδωρ ἀλλόμενον εἰς ζωὴν αἰώνιον, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That it may drive away every cunning device of our enemies, visible and invisible, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸ ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For those who drink of these waters and who take them home for the sanctification of their dwellings, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρυομένων εἰς ἁγιασμὸν οἴκων, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That it may be a means for purification of soul and body to those who drink and receive of it in faith, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πᾶσι τοῖς ἀρυομένοις πίστει, καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That as we receive of these waters we may be made worthy to be filled with sanctification through the invisible appearance of the Holy Spirit, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς ἐμπλησθῆναι ἁγιασμοῦ, διὰ τῆς τῶν ὑδάτων τούτων μεταλήψεως, τῇ ἀοράτῳ ἐπιφανείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* That the Lord God may hear the prayer of us sinners, and have mercy on us, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* For our deliverance from all tribulation, wrath, danger, and necessity, let us pray to the Lord.

*Διάκ.* Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*Διάκ.* Ἀντιλαβοῦ, σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Lord, have mercy.

Κύριε, ἐλέησον.

*Deacon* Commemorating our all-holy, pure, most-blessed, and glorious Lady, the Theotokos and ever-Virgin Mary, with all the saints, let us commit ourselves and one another and all our life to Christ our God.

*Διάκ.* Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

To You, O Lord.

Σοὶ, Κύριε.

**Prayer**

**Εὐχή**

*While the Litany of Peace is being intoned by the Deacon intones the Litany of Peace, the Priest reads the following prayer silently*

*Ἐν ὅσῳ δὲ λέγονται τὰ Εἰρηνικά ὑπὸ τοῦ Διακόνου, ὁ Ἱερεὺς λέγει μυστικῶς τὴν ἑξῆς Εὐχήν·*

*Priest* O Lord Jesus Christ, the only Son, Who remains in the bosom of the Father, true God, Fountain of life and immortality,

*Ἱερεύς* Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς

Light of Light, You Who came into the world to enlighten it: enlighten our minds by Your Holy Spirit and accept us as we offer You magnification and thanksgiving for Your great and wonderful works which are from eternity, and for Your dispensation unto salvation in these last days.

ἀθανασίας, τὸ φῶς τὸ ἐκ φωτός, ὁ ἐλθὼν εἰς τὸν κόσμον τοῦ φωτίσαι αὐτόν, καταύγασον ἡμῶν τὴν διάνοιαν τῷ Ἁγίῳ σου Πνεύματι, καὶ πρόσδεξαι ἡμᾶς μεγαλωσύνην καὶ εὐχαριστίαν σοι προσάγοντας, ἐπὶ τοῖς ἀπ᾽ αἰῶνος θαυμαστοῖς σου μεγαλουργήμασι, καὶ τῇ ἐπ᾽ ἐσχάτων τῶν αἰώνων σωτηρίῳ σου οἰκονομίᾳ.

For in these last days You took upon Yourself our weak and poor creation, and condescended, O King of all, to become man; and again You also consented to be baptized at the hand of a servant, so that by sanctifying the nature of water, O sinless One, You might prepare a way for our birth to be renewed through water and the Spirit, thus restoring unto us our first freedom.

Ἐν ᾗ τὸ ἀσθενὲς ἡμῶν καὶ πτωχὸν περιβαλόμενος φύραμα, καὶ τοῖς τῆς δουλείας μέτροις συγκατιών, ὁ τῶν ἁπάντων Βασιλεύς, ἔτι καὶ δουλικῇ χειρὶ ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι κατεδέξω, ἵνα τὴν τῶν ὑδάτων φύσιν ἁγιάσας ὁ ἀναμάρτητος, ὁδοποιήσῃς ἡμῖν τὴν δι᾽ ὕδατος καὶ Πνεύματος ἀναγέννησιν, καὶ πρὸς τὴν πρώτην ἡμᾶς ἀποκαταστήσῃς ἐλευθερίαν.

As we celebrate the memory of this divine mystery, we beseech You, O You Who love mankind.

Οὗ τινος θείου Μυστηρίου τὴν ἀνάμνησιν ἑορτάζοντες, δεόμεθά σου φιλάνθρωπε Δέσποτα.

Sprinkle us Your unworthy servants with purifying water and the gift of Your compassion according to Your divine promise; may the prayers that we sinners speak over this water be wholly acceptable to Your goodness, so that through it You might grant Your blessing to us and to all Your people, unto the glory of Your holy and adored name.

Ῥᾶνον ἐφ᾽ ἡμᾶς τοὺς ἀναξίους δούλους σου, κατὰ τὴν θείαν σου ἐπαγγελίαν, ὕδωρ καθάρσιον, τῆς σῆς εὐσπλαγχνίας τὴν δωρεάν, εἰς τὸ ἐπὶ τῷ ὕδατι τούτῳ τὴν αἴτησιν ἡμῶν τῶν ἁμαρτωλῶν εὐπρόσδεκτον γενέσθαι τῇ σῇ ἀγαθότητι, καὶ τὴν εὐλογίαν σου δι᾽ αὐτοῦ ἡμῖν τε καὶ παντὶ τῷ πιστῷ σου λαῷ, χαρισθῆναι εἰς δόξαν τοῦ ἁγίου προσκυνητοῦ σου Ὀνόματος.

For to You is due all glory, honor, and worship: with Your eternal Father and Your all-holy, good, and life-giving Spirit, now and ever, and unto the ages of ages.

Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σοῦ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Amen.

Ἀμήν.

### Prayer

***By Sophronios,***
***Patriarch of Jerusalem***

### Εὐχή

***Ποίημα Σωφρονίου,***
***Πατριάρχου Ἱεροσολύμων***

*Following the petitions intoned by the Deacon, and the "Amen" concluding the Prayer, the Priest reads the following prayer aloud:*

*Καὶ εἰπὼν καθ᾽ ἑαυτὸν τό, Ἀμήν, τοῦ Διακόνου ἤδη πεπληρωκότος τὴν Συναπτήν, ἄρχεται ὁ ἱερεὺς μεγαλοφώνως τῆς Εὐχῆς ταύτης.*

***Note**: At the Small Blessing of Waters the following section is omitted.*

*Ἐν τὸ Μικρῷ Ἁγιασμῷ, ἡ δὲν ἀναγινώσκεται·*

*Priest* O Trinity, transcendent in essence, in goodness and in divinity, the Almighty

*Ἱερεύς* Τριὰς ὑπερούσιε, ὑπεράγαθε, ὑπέρθεε, παντοδύναμε, παντεπίσκοπε,

| | |
|---|---|
| Who watches over all, invisible and incomprehensible. | ἀόρατε, ἀκατάληπτε. |
| O Creator of noetic natures endowed with rational speech, the Goodness of absolute unapproachable light that illumines every man who comes into the world: enlighten me also, Your unworthy servant, illumine the eyes of my mind that I may venture to praise Your countless benevolences and Your might. | Δημιουργὲ τῶν νοερῶν οὐσιῶν καὶ τῶν λογικῶν φύσεων, ἡ ἔμφυτος ἀγαθότης, τὸ Φῶς τὸ ἀπρόσιτον, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, λάμψον κἀμοὶ τῷ ἀναξίῳ δούλῳ σου, φώτισόν μου τῆς διανοίας τὰ ὄμματα, ὅπως ἀνυμνῆσαι τολμήσω τὴν ἄμετρον εὐεργεσίαν καὶ δύναμιν. |
| Let my prayers on behalf of this people be wholly acceptable, so that my sins might not prevent the descent here of Your Holy Spirit. May I be allowed to cry to You without condemnation, and say: we glorify You, O Master, Who loves mankind, the almighty and eternal King. | Εὐπρόσδεκτος γενέσθω ἡ παρ᾽ ἐμοῦ δέησις διὰ τὸν παρεστῶτα λαόν, ὅπως τὰ πλημμελήματά μου μὴ κωλύσωσιν ἐνθάδε παραγενέσθαι τὸ ἅγιόν σου Πνεῦμα, ἀλλὰ συγχώρησόν μοι ἀκατακρίτως βοᾶν σοι καὶ λέγειν καὶ νῦν, Ὑπεράγαθε· Δοξάζομέν σε Δέσποτα φιλάνθρωπε, Παντοκράτορ, προαιώνιε Βασιλεῦ. |
| We glorify You, O Maker and Creator of all things.. | Δοξάζομέν σε τὸν Κτίστην, καὶ Δημιουργὸν τοῦ παντός. |
| We glorify You, O only Son without father on the side of Your Mother, and without mother on the side of Your Father; in the previous feast we beheld You as a baby, and at this feast we behold You complete, O our perfect God, appearing from the Perfect. | Δοξάζομέν σε, Υἱὲ τοῦ Θεοῦ μονογενές, τὸν ἀπάτορα ἐκ Μητρός, καὶ ἀμήτορα ἐκ Πατρός· ἐν γὰρ τῇ προλαβούσῃ Ἑορτῇ νήπιόν σε εἴδομεν, ἐν δὲ τῇ παρούσῃ τέλειόν σε ὁρῶμεν, τὸν ἐκ τελείου τέλειον ἐπιφανέντα Θεὸν ἡμῶν. |
| Today we have reached the time of the feast; the rank of saints gathers with us, and the angels celebrate with men. | Σήμερον γὰρ ὁ τῆς Ἑορτῆς ἡμῖν ἐπέστη καιρός, καὶ χορὸς ἁγίων ἐκκλησιάζει ἡμῖν, καὶ Ἄγγελοι μετὰ ἀνθρώπων συνεορτάζουσι. |
| Today the grace of the Holy Spirit has descended upon the waters in the likeness of a dove. | Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἐν εἴδει περιστερᾶς, τοῖς ὕδασιν ἐπεφοίτησε. |
| Today the never-setting sun has shone, and the world is illumined by the light of the Lord. | Σήμερον ὁ ἄδυτος Ἥλιος ἀνέτειλε, καὶ ὁ κόσμος τῷ φωτὶ Κυρίου καταυγάζεται. |
| Today the moon shines upon the earth its radiant beams. | Σήμερον ἡ Σελήνη λαμπραῖς ταῖς ἀκτῖσι τῷ κόσμῳ συνεκλαμπρύνεται. |
| Today the shining stars adorn the universe with the splendor of their radiance. | Σήμερον οἱ φωτοειδεῖς ἀστέρες τῇ φαιδρότητι τῆς λάμψεως τὴν οἰκουμένην καλλωπίζουσι. |
| Today the clouds from heaven moisten mankind with showers of justice. | Σήμερον αἱ νεφέλαι ὑετὸν δικαιοσύνης τῇ ἀνθρωπότητι οὐρανόθεν δροσίζουσι. |
| Today the Uncreated One accepts the laying on of hand by His own creature. | Σήμερον ὁ Ἄκτιστος ὑπὸ τοῦ ἰδίου πλάσματος βουλῇ χειροθετεῖται. |

| | |
|---|---|
| Today the prophet and forerunner draws near to the Master, and stops with trembling as he beholds the condescension of God toward us. | Σήμερον ὁ Προφήτης καὶ Πρόδρομος τῷ Δεσπότῃ προσέρχεται, ἀλλὰ τρόμῳ παρίσταται, ὁρῶν Θεοῦ πρὸς ἡμᾶς συγκατάβασιν. |
| Today the waters of the Jordan are changed into healing by the presence of the Lord. | Σήμερον τὰ τοῦ Ἰορδάνου νάματα εἰς ἰάματα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. |
| Today the whole universe is watered by mystical streams. | Σήμερον ῥείθροις μυστικοῖς πᾶσα ἡ κτίσις ἀρδεύεται. |
| Today the sins of mankind are blotted out by the waters of the Jordan. | Σήμερον τὰ τῶν ἀνθρώπων πταίσματα τοῖς ὕδασι τοῦ Ἰορδάνου ἀπαλείφονται. |
| Today paradise has been opened to mankind, and the Sun of righteousness has shone upon us. | Σήμερον ὁ Παράδεισος ἠνέωκται τοῖς ἀνθρώποις, καὶ ὁ τῆς Δικαιοσύνης Ἥλιος καταυγάζει ἡμῖν. |
| Today the bitter water has become sweet at the hands of Moses by the presence of the Lord. | Σήμερον τὸ πικρὸν ὕδωρ, τὸ ἐπὶ Μωϋσέως τῷ λαῷ, εἰς γλυκύτητα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. |
| Today we are delivered from the ancient mourning, and are saved like a new Israel. | Σήμερον τοῦ παλαιοῦ θρήνου ἀπηλλάγημεν καὶ ὡς νέος Ἰσραὴλ διεσώθημεν. |
| Today we have escaped from darkness, and have been illumined by the light of the Knowledge of God. | Σήμερον τοῦ σκότους ἐλυτρώθημεν, καὶ τῷ φωτὶ τῆς θεογνωσίας καταυγαζόμεθα. |
| Today the darkness of the world vanishes with the appearance of our God. | Σήμερον ἡ ἀχλὺς τοῦ κόσμου καθαίρεται τῇ ἐπιφανείᾳ τοῦ Θεοῦ ἡμῶν. |
| Today all of creation is illumined from on high. | Σήμερον λαμπαδοφεγγεῖ πᾶσα ἡ κτίσις ἄνωθεν. |
| Today error is annulled and the coming of the Lord prepares the way of salvation. | Σήμερον ἡ πλάνη κατήργηται, καὶ ὁδὸν ἡμῖν σωτηρίας ἐργάζεται ἡ τοῦ Δεσπότου ἐπέλευσις. |
| Today the celestial beings celebrate with those on earth, and earthly beings commune with those in heaven. | Σήμερον τὰ ἄνω τοῖς κάτω συνεορτάζει, καὶ τὰ κάτω τοῖς ἄνω συνομιλεῖ. |
| Today the assembly of the noble and loud-voiced Orthodox rejoice. | Σήμερον ἡ ἱερὰ καὶ μεγαλόφωνος τῶν Ὀρθοδόξων πανήγυρις ἀγάλλεται. |
| Today the Lord comes down to baptism so that He might raise up mankind. | Σήμερον ὁ Δεσπότης πρὸς τὸ βάπτισμα ἐπείγεται, ἵνα ἀναβιβάσῃ πρὸς ὕψος τὸ ἀνθρώπινον. |
| Today the One Who cannot be bowed, bows to His servant so as to deliver us from slavery. | Σήμερον ὁ ἀκλινὴς τῷ ἰδίῳ οἰκέτῃ ὑποκλίνεται, ἵνα ἡμᾶς ἐκ τῆς δουλείας ἐλευθερώσῃ. |
| Today we have purchased the kingdom of heaven which has no end. | Σήμερον Βασιλείαν οὐρανῶν ὠνησάμεθα· τῆς γὰρ Βασιλείας τοῦ Κυρίου οὐκ ἔσται τέλος. |

| | |
|---|---|
| Today the land and the sea have divided the joy of the world between them, and the world is filled with rejoicing. | Σήμερον γῆ καὶ θάλασσα τὴν τοῦ κόσμου χαρὰν ἐμερίσαντο, καὶ ὁ κόσμος εὐφροσύνης πεπλήρωται. |
| The waters beheld You, O God; the waters saw You and were afraid. | Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν. |
| Jordan turned back when it beheld the fire of the Godhead coming down and descending upon it in the flesh. | Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεασάμενος τὸ πῦρ τῆς θεότητος, σωματικῶς κατερχόμενον, καὶ εἰσερχόμενον ἐπ᾽ αὐτόν. |
| Jordan turned back at beholding the Holy Spirit descending in the likeness of a dove and hovering over You. | Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεωρῶν τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν εἴδει περιστερᾶς κατερχόμενον, καὶ περιϊπτάμενόν σοι. |
| Jordan turned back when it saw the Invisible to be visible, the Creator to be incarnate, and the Master to have taken on the likeness of a servant. | Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ὁρῶν τὸν Ἀόρατον ὁραθέντα, τὸν Κτίστην σαρκωθέντα, τὸν Δεσπότην ἐν δούλου μορφῇ. |
| Jordan turned back and the mountains shouted with joy as they beheld God in the flesh, and the clouds resounded with wonder at seeing Him Who comes, Who is Light of Light, true God of true God, drowning the death of sin, the thorn of error and the bond of Hades in the Jordan; and thereby granting unto the world the baptism of salvation. | Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, καὶ τὰ ὄρη ἐσκίρτησαν, Θεὸν ἐν σαρκὶ καθορῶντα, καὶ νεφέλαι φωνὴν ἔδωκαν, θαυμάζουσαι τὸν παραγενόμενον, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, δεσποτικὴν πανήγυριν σήμερον ἐν τῷ Ἰορδάνῃ ὁρῶντες, αὐτὸν δὲ τὸν τῆς παρακοῆς θάνατον, καὶ τὸ τῆς πλάνης κέντρον, καὶ τὸν τοῦ, Ἅδου σύνδεσμον ἐν τῷ Ἰορδάνῃ βυθίσαντα, καὶ Βάπτισμα σωτηρίας τῷ κόσμῳ δωρησάμενον. |
| Therefore, I Your unworthy and sinful servant, am also encompassed by fear as I proclaim Your great wonders and cry reverently to You, saying: | Ὅθεν κἀγὼ ὁ ἁμαρτωλὸς καὶ ἀνάξιος δοῦλός σου, τὰ μεγαλεῖα τῶν θαυμάτων σου διηγούμενος, συνεχόμενος φόβῳ, ἐν κατανύξει βοῶ σοι· |
| *After the preceding, the Priest exclaims in a strong voice:* | *Μετὰ δὲ τὴν συμπλήρωσιν, λέγει γεγονωτέρᾳ φωνῇ·* |
| *Priest* Great are You, O Lord, and wonderful are Your works, and no word suffices to hymn Your wonders. | *Ἱερεύς* Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου |
| Glory to You, O Lord, glory to You. | Δόξα σοι, Κύριε, δόξα σοι. |
| *Priest* Great are You, O Lord, and wonderful are Your works, and no word suffices to hymn Your wonders. | *Ἱερεύς* Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου |
| Glory to You, O Lord, glory to You. | Δόξα σοι, Κύριε, δόξα σοι. |
| *Priest* Great are You, O Lord, and wonderful are Your works, and no word suffices to hymn Your wonders. | *Ἱερεύς* Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου |
| Glory to You, O Lord, glory to You. | Δόξα σοι, Κύριε, δόξα σοι. |

*Priest* For You brought all things out of nothingness into existence by Your will, You controlled creation by Your might, and You govern the world by Your providence.

*Ἱερεύς* Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα τῷ σῷ κράτει συνέχεις τὴν κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν κόσμον.

You organized creation from four elements, and crowned the cycle of the year with four seasons.

Σὺ ἐκ τεσσάρων στοιχείων τὴν κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας.

Before You tremble the supersensual powers.

Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι Δυνάμεις.

he sun praises You, the moon worships You, the stars submit to You, the light obeys You, the tempests tremble, and the springs worship You.

Σὲ ὑμνεῖ ἥλιος, σὲ δοξάζει σελήνη, σοὶ ἐντυγχάνει τὰ ἄστρα, σοὶ ὑπακούει τὸ φῶς, σὲ φρίττουσιν ἄβυσσοι, σοὶ δουλεύουσιν αἱ πηγαί.

You spread out the heavens like a tent; You established the earth upon the waters; You surrounded the sea with sand. You poured out the air for breathing; the angelic hosts serve You, the ranks of Archangels worship You, the many-eyed Cherubim and the six-winged Seraphim stand in Your presence and fly about You, hiding with fear from Your unapproachable glory.

Σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέρριν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀέρα ἐξέχεας· Ἀγγελικαὶ Δυνάμεις σοὶ λειτουργοῦσιν· οἱ τῶν, Ἀρχαγγέλων χοροὶ σὲ προσκυνοῦσι· τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ κύκλῳ ἱστάμενα καὶ περιϊπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης κατακαλύπτονται.

While remaining a boundless God, without beginning and beyond comprehension, You came to earth taking the likeness of a servant, and became like men; in the tenderness of Your compassion, O Master, You could not bear to see mankind defeated by the Devil, but You came instead to save us.

Σὺ γὰρ Θεὸς ὢν ἀπερίγραπτος, ἄναρχός τε καὶ ἀνέκφραστος, ἦλθες ἐπὶ τῆς γῆς, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· οὐ γὰρ ἔφερες, Δεσπότα, διὰ σπλάγχνα ἐλέους σου, θεάσασθαι ὑπὸ τοῦ διαβόλου τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων, ἀλλ᾽ ἦλθες καὶ ἔσωσας ἡμᾶς.

We attribute grace to You and preach mercy, and call You benevolent; You freed the sons of our nature; You sanctified the virginal womb by Your nativity; thus all creation has praised You for Your manifestation.

Ὁμολογοῦμεν τὴν χάριν, κηρύττομεν τὸν ἔλεον, οὐ κρύπτομεν τὴν εὐεργεσίαν, τάς τῆς φύσεως ἡμῶν γονὰς ἠλευθέρωσας, παρθενικὴν ἡγίασας μήτραν τῷ τόκῳ σου, πᾶσα ἡ κτίσις ὕμνησέ σε ἐπιφανέντα.

You, O our God, appeared on earth and walked among men.

Σὺ γὰρ ὁ Θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθης, καὶ τοῖς ἀνθρώποις συνανεστράφης.

You sanctified the courses of the Jordan, having sent Your all-holy Spirit into it from heaven, and You crushed the heads of the dragons that nestled therein.

Σὺ καὶ τὰ Ἰορδάνια ῥεῖθρα ἡγίασας, οὐρανόθεν καταπέμψας τὸ Πανάγιον σοῦ Πνεῦμα, καὶ τάς κεφαλὰς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας δρακόντων.

*Priest* Wherefore, O King, You Who love mankind: be present now by the descent of Your Holy Spirit and sanctify this water.

*Ἱερεύς* Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο.

Amen.

Ἀμήν.

*Priest* Wherefore, O King, You Who love mankind: be present now by the descent of Your Holy Spirit and sanctify this water.

*Ἱερεύς* Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο.

Amen.

Ἀμήν.

*Priest* Wherefore, O King, You Who love mankind: be present now by the descent of Your Holy Spirit and sanctify this water.

*Ἱερεύς* Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο.

Amen.

Ἀμήν.

*Priest* And grant it the grace of redemption and the blessing of Jordan.

Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου.

Make it a fountain of incorruptibility, a gift unto sanctification, a redemption of sins, a healing of illness, a destroyer of Satan, unapproachable by the adversary powers and full of angelic powers; that it may be to all who drink this water and receive it for the sanctification of souls and bodies, for the healing of suffering, for the sanctification of homes, and for every healing benefit.

Ποίησον αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, Ἀγγελικῆς ἰσχύος πεπληρωμένον, ἵνα πάντες οἱ ἀρυόμενοι καὶ μεταλαμβάνοντες ἔχοιεν αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἰατρείαν παθῶν, πρὸς ἁγιασμὸν οἴκων, πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον.

You are our God Who with water and the Spirit renewed our nature made old by sin.

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι᾽ ὕδατος καὶ Πνεύματος ἀνακαινίσας τὴν παλαιωθεῖσαν φύσιν ὑπὸ τῆς ἁμαρτίας.

You are our God Who drowned sin in the water at the time of Noah.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι᾽ ὕδατος κατακλύσας ἐπὶ τοῦ Νῶε τὴν ἁμαρτίαν.

You are our God Who in the sea delivered the Hebrews from the bondage of Pharaoh by the hand of Moses.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ διὰ θαλάσσης ἐλευθερώσας ἐκ τῆς δουλείας Φαραώ, διὰ Μωϋσέως, τὸ γένος τῶν Ἑβραίων.

You are our God Who cleaved the rock in the wilderness so that water gushed out and the valleys overflowed, to satisfy Your thirsty people.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ διαρρήξας πέτραν ἐν ἐρήμῳ, καὶ ἐρρύησαν ὕδατα, καὶ χείμαρροι κατεκλύσθησαν, καὶ διψῶντα τὸν λαόν σου κορέσας.

You are our God Who with fire and water delivered Israel from the error of Baal at the hands of Elissáeus.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι᾽ ὕδατος καὶ πυρός, διὰ τοῦ Ἠλίου, ἀπαλλάξας τὸν Ἰσραὴλ ἐκ τῆς πλάνης τοῦ Βάαλ.

*Priest* Wherefore, O Master, sanctify this water by Your Holy Spirit.

*Ἱερεύς* Αὐτὸς καὶ νῦν, Δεσπότα, ἁγίασον τὸ ὕδωρ τοῦτο, τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Amen.

Ἀμήν.

*Priest* Wherefore, O Master, sanctify this water by Your Holy Spirit.

*Ἱερεύς* Αὐτὸς καὶ νῦν, Δεσπότα, ἁγίασον τὸ ὕδωρ τοῦτο, τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Amen.

Ἀμήν.

*Priest* Wherefore, O Master, sanctify this water by Your Holy Spirit.

*Ἱερεύς* Αὐτὸς καὶ νῦν, Δεσπότα, ἁγίασον τὸ ὕδωρ τοῦτο, τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Amen.

Ἀμήν.

*Priest* Grant sanctification, blessing, cleansing and health to all who touch it and are anointed by it, and who receive of it.

*Ἱερεύς* Δὸς πᾶσι, τοῖς τε μεταλαμβάνουσι, τὸν ἁγιασμόν, τὴν εὐλογίαν, τὴν κάθαρσιν, τὴν ὑγείαν.

*Priest* Save, O Lord, Your servants, our faithful rulers.

*Ἱερεύς* Καὶ σῶσον, Κύριε, τοὺς δούλους σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν.

Amen.

Ἀμήν.

*Priest* Save, O Lord, Your servants, our faithful rulers.

*Ἱερεύς* Καὶ σῶσον, Κύριε, τοὺς δούλους σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν.

Amen.

Ἀμήν.

*Priest* Save, O Lord, Your servants, our faithful rulers.

*Ἱερεύς* Καὶ σῶσον, Κύριε, τοὺς δούλους σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν.

Amen.

Ἀμήν.

*Priest* Keep them under Your shadow in peace; subdue under their feet every enemy and adversary; grant them the means of salvation and eternal life.

*Ἱερεύς* Καὶ φύλαξον αὐτοὺς ὑπὸ τὴν σκέπην σου ἐν εἰρήνῃ, ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, χάρισαι αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον.

Remember Lord, our *Hierarch (Name),* and all Priests, the ministers of God, and all the priestly hierarchy, as well as the people standing here, together with our brothers who are absent for praiseworthy reasons. Have mercy upon them and upon us according to Your compassion

Μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), καὶ παντὸς τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι᾽ εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ μέγα σου ἔλεος.

That Your all-holy name may be glorified by the elements, by the angels, by mankind, by visible and invisible powers, with the Father and the Holy Spirit, now and ever, and to the ages of ages.

Ἵνα καὶ διὰ στοιχείων, καὶ διὰ Ἀγγέλων, καὶ διὰ ἀνθρώπων, καὶ διὰ ὁρωμένων, καὶ διὰ ἀοράτων, δοξάζηταί σου τὸ πανάγιον ὄνομα, σὺν τῷ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Amen.

Ἀμήν.

**Prayer**

**Εὐχή**

*Priest* Peace be with all.

*Ἱερεύς* Εἰρήνη πᾶσι.

And with your spirit.

Καὶ τῷ Πνεύματί σου.

*Deacon* Let us bow our heads to the Lord.

*Ἱερεύς* Τάς κεφαλὰς ἡμῶν.

To You, O Lord.

Σοί, Κύριε.

*The Priest reads the following prayer silently:*

*Καὶ ὁ Ἱερεὺς λέγει ἡ Εὐχὴ μυστικῶς·*

*Priest* Incline Your ear, O Lord, and hear us. You Who sanctified water when You consented to be baptized in the Jordan, bless all of us who by bowing our heads indicate our bondage.

*Ἱερεύς* Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσας τὰ ὕδατα• καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τῶν ἑαυτῶν αὐχένων σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα.

And make us worthy to be filled with Your sanctification by receiving this water and sprinkling it; let it be, O Lord, for the health of our souls and bodies.

Καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ, καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς καὶ σώματος.

*The Priest exclaims:*

*Ὁ Ἱερεὺς ἐκφωνώς·*

*Ἱερεύς* For You are the sanctification of our souls and bodies, and to You we send up glory: Father Who has no beginning, and to the all-Holy Spirit, the God and Author of life, now and ever, and unto the ages of ages.

*Ἱερεύς* Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Amen.

Ἀμήν.

**Troparion**

**Τροπάριον**

*Tone 1*

*Ἦχον α´*

*He blesses the water crosswise with the hand cros, then plunges it into the water three times and raises it up thrice, singing the following Idiomelon:*

*Καὶ εὐθύς, εὐλογῶν τὰ ὕδατα σταυροειδῶς, βαπτίζει τὸν τίμιον Σταυρόν, ὄρθιον αὐτὸν κατάγων ἐν τῷ ὕδατι καὶ ἀνάγων, ψάλλων καὶ τὸ παρὸν:*

When You, O Lord, were baptized in the Jordan river, • the worship of the Holy Trinity was manifested, • for the voice of the Father bore witness to You, • calling You His beloved Son; • and the Spirit in the form of a dove, • confirmed the sureness of these words. • You Who appeared, O Christ God, • and have enlightened the world, glory to You.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, • ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· • τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, • ἀγαπητὸν σε Υἱὸν ὀνομάζουσα· • καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, • ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. • Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, • καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

*(Repeat)* When You, O Lord, were baptized in the Jordan river, • the worship of the Holy Trinity was manifested, • for the voice of the Father bore witness to You, • calling You His beloved Son; • and the Spirit in the form of a dove, • confirmed the sureness of these words. • You Who appeared, O Christ God, • and have enlightened the world, glory to You.

*(Πάλιν)* Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, • ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· • τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, • ἀγαπητὸν σε Υἱὸν ὀνομάζουσα· • καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, • ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. • Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, • καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

*(Repeat)* When You, O Lord, were baptized in the Jordan river, • the worship of the Holy Trinity was manifested, • for the voice of the

*(Πάλιν)* Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, • ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· • τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει

Father bore witness to You, • calling You His beloved Son; • and the Spirit in the form of a dove, • confirmed the sureness of these words. • You Who appeared, O Christ God, • and have enlightened the world, glory to You.

σοι, • ἀγαπητὸν σε Υἱὸν ὀνομάζουσα· • καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, • ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. • Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, • καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

**Idiomelon**

*Tone Plagal 2*

*The Priest sprinkles the faithful with water, then reenters the church as the following Idiomelon is chanted:*

O believers let us praise the great dispensation of God; for He Who alone is pure and spotless, Who became man because of our fall, purifies us in the Jordan, sanctifying us and the waters, while crushing the heads of dragons therein. Let us, therefore, O Brothers, draw water with gladness, for those who draw it in faith shall be granted the grace of the Spirit in an invisible manner, by the presence of Christ God Who is the Savior of our souls.

**Ἰδιόμελον**

*Ἦχον πλ. β´*

*Καὶ ραντίζει πάντα τὸν Λαὸν ἐκ τοῦ ὕδατος. Εἰσερχόμενοι δὲ ἐν τῷ Ναῷ, ψάλλομεν τὸ πάρον Ἰδιόμελον·*

Ἀνυμνήσωμεν οἱ πιστοί, τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίας τὸ μέγεθος· ἐν γὰρ τῷ ἡμῶν παραπτώματι, γενόμενος ἄνθρωπος, τὴν ἡμῶν κάθαρσιν καθαίρεται ἐν τῷ Ἰορδάνῃ, ὁ μόνος καθαρὸς καὶ ἀκήρατος, ἁγιάζων ἐμὲ καὶ τὰ ὕδατα καὶ τάς κεφαλὰς τῶν δρακόντων, συντρίβων ἐπὶ τοῦ ὕδατος. Ἀντλήσωμεν οὖν ὕδωρ, μετ᾽ εὐφροσύνης ἀδελφοί· ἡ γὰρ χάρις τοῦ Πνεύματος, τοῖς πιστῶς ἀντλοῦσιν, ἀοράτως ἐπιδίδοται, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡιμών.

**Dismissal**

*Priest* Glory to You, O God, glory to You.

*Priest* May He Who deigned to be baptized in the Jordan by John for our salvation, Christ our true God, through the intercessions of His all-pure and all-blameless holy Mother; by the power of the precious and life-giving Cross; through the protection of the honorable heavenly bodiless powers; through the supplications of the honorable, glorious, prophet, forerunner, and baptist John; of the holy, glorious, and all-praiseworthy Apostles; of our father among the saints, Basil the Great Archbishop of Caesarea in Cappadocia whose liturgy we celebrate; of the holy, glorious and victorious martyrs; of our venerable and God-bearing fathers; of *(the patron saint)*; of the holy and righteous ancestors of God, Joachim and Anna; and of all the saints: have mercy and save us, for He is good and loves mankind.

**Ἀπόλυσις**

*Ἱερεύς* Δόξα σοὶ ὁ Θεός, δόξα Σοί.

*Ἱερεύς* Ὁ ἐν Ἰορδάνῃ ὑπό Ἰωάννου βαπτισθῆναι καταδεξάμενος, διά τήν ἡμῶν σωτηρίαν, Χριστός ὁ ἀληθινός Θεός ἡμῶν ..., ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος τοῦ Μεγάλου οὗ τὴν θείαν Λειτουργίαν ἐπιτελέσομεν· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· *(τοῦ ἁγίου τοῦ Ναοῦ)*· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων, Ἰωακεὶμ καὶ Ἄννης· καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.